# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: odi-ab

*Ἥρων ὁ Ἀλεξανδρεύς* · Hero of Alexandria

## Fragments-Horoscopes

*Ἀποσπάσματα περὶ Ὡροσκοπίων*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [ln_1]... ὅπως

book 1.2 συμβαίνει καθ’ ὁμαλὴν ῥύσιν ὕδατος ἐκλαβεῖν

book 1.3 χρόνον, λέγομεν ὅσα καὶ Ἥρων ὁ μηχανικὸς ἐν

book 1.4 τοῖς

book 1.5 Περὶ ὑδρίων ὡροσκοπείων ἐδίδαξε. [para]‘Κατασκευάζεται γὰρ ἀγγεῖόν

book 1.6 τι ἔχον ὀπὴν ὡς ἂν[ln_5]κλεψύδρα, δι’ ἧς ὁμαλῶς, ὡς ἔθος, δύναται τὸ ὕδωρ ἐκρεῖν. ὅπερ

book 1.7 προκατασκευάζεται τὴν ἀρχὴν τῆς ἐκρύσεως ἔχον ὅτε

book 1.8 πρῶτον ἐκ

book 1.9 τοῦ ὁρίζοντος ὁ ἥλιος τὴν

book 1.10 πρώτην ἀκτῖνα

book 1.11 προσβάλλει, καὶ τὸ ῥεῦσαν ὕδωρ ἐν ᾧ χρόνῳ ὁ δίσκος ὑπὲρ τὸν ὁρίζοντα γίνεται

book 1.12 φυλάττεται

book 1.13 χωρίς,

book 1.1 [ln_10]εἶτα τὸ ἑφεξῆς ἐν ὅλῳ τῷ νυχθημέρῳ μέχρι τῆς ἑτέρας ἀνατολῆς ὁμαλῶς καὶ ἀνεκλείπτως καὶ ἀπαύστως ῥυὲν ἐν ἑτέρῳ ἀγγείῳ· καὶ τὸ ῥεῦσαν

book 1.2 παραμετρεῖται, ποσαπλάσιόν ἐστι

book 1.3 τοῦ κατὰ τὴν ἀνατολὴν ληφθέντος ὕδατος· καὶ τοῦτό‘ φησιν ‘ἔσται ἀνάλογον τῷ χρόνῳ· καὶ ὡς[ln_15]τὸ ὕδωρ

book 1.4 πρὸς τὸ ὕδωρ, οὕτως ὁ χρόνος

book 1.5 πρὸς τὸν

book 1.6 χρόνον.‘

book 2.1 Οἱ μὲν γὰρ ἀρχαιότεροι τῶν μαθηματικῶν κατασκευάσαντες ἀγγεῖον καθ’ ὁμαλὴν ῥύσιν ῥέον διὰ τρηματίου

book 2.2 πρὸς τῷ πυθμένι ὄντος καὶ ἔχον τὴν

book 2.3 χορηγίαν ἔκ

book 2.4

τινος ἐπιρρύτου ὕδατος ἅμα τῇ τοῦ ἡλίου ἀνατολῇ[ln_5]πρώτῃ ἐν τῇ ἰσημερινῇ ἡμέρᾳ εἴων φέρεσθαι τὸ ὕδωρ εἴς

book 2.5 τι περιεχόμενον ἀγγεῖον, ἕως ἂν ὅλον τὸ σῶμα

book 2.6 τοῦ ἡλίου

book 2.7 πρώτως ὑπὲρ τὸν ὁρίζοντα γένηται· καὶ φυλάσσοντες τὸ ἀπορρ〈ε〉ῦσαν ὕδωρ, εἰς ἕτερον ἀγγεῖον εἴων φέρεσθαι τὴν ῥύσιν μέχρι τῆς κατὰ τὴν ἑξῆς[ln_10]ἡμέραν γινομένης

book 2.8 τοῦ ἡλίου

book 2.9 πρώτης ἀνατολῆς καὶ ἐκμετροῦντες τὸ πᾶν ῥυὲν ὕδωρ ἐν ἀμφοτέροις

book 2.10 τοῖς ἀγγείοις ἐζήτουν

book 2.11 τοῦτο, ποσαπλάσιόν ἐστι

book 2.12 τοῦ κατὰ τὴν ἀνατολὴν

book 2.13 τοῦ ἡλίου ληφθέντος ὕδατος. καὶ ὃν λόγον ἔχει τὸ κατὰ τὴν ἀνατολὴν

book 2.14 τοῦ ἡλίου ληφθὲν[ln_15][τοῦτο] ὕδωρ

book 2.15 πρὸς τὸ πᾶν τῆς ῥύσεως ὕδωρ, τοῦτον ἔχειν τὸν λόγον ἔφασκον ... τὸν

book 2.16 χρόνον τῆς ὅλης

book 2.17 τοῦ ἡλίου ἀνατολῆς

book 2.18 πρὸς τὸν

book 2.19 χρόνον τὸν ἀπὸ τῆς

book 2.20 πρώτης ἀνατολῆς μέχρι τῆς κατὰ τὴν ἑξῆς ἡμέραν

book 2.21 πρώτης ἀνατολῆς.

book 2 [ln_20]... ὅπως δὲ συμβαίνει τὸ ἐν τῷ ἀγγείῳ ὕδωρ καθ’ ὁμαλὴν ῥύσιν ῥεῖν, ὑπέδειξεν Ἥρων ἐν τῷ πρώτῳ τῶν Ὑδρίων ὡροσκοπ〈ε〉ίων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org